Κεφάλαιον ζ. A

Μετὰ τοίνυν τοῦτο δεῖ βουλομένοις εἰπεῖν τὸ τί ἐστιν ἡ ἀρετή, εἰδῆσαι τίνα ἐστὶ τὰ ἐν τῇ ψυχῇ γινόμενα. ἔστι δ' ἃ γίνεται ταῦτα, πάθη, δυνάμεις, ἕξεις· ὥστε δῆλον ὅτι τούτων ἄν τι εἴη ἀρετή. πάθη μὲν οὖν ἐστιν, ὀργή, φόβος, μῖσος, πόθος, ζῆλος, ἔλεος, καὶ τὰ τοιαῦτα, οἷς εἴωθε παρακολουθεῖν λύπη καὶ ἡδονή. δυνάμεις δὲ, καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα. οἷον καθ' ἃς δυνατοί ἐσμεν ὀργισθῆναι, λυπηθῆναι, ἐλεῆσαι, καὶ τὰ τοιαῦτα. B ἕξεις δ' εἰσὶ καθ' ἃς πρὸς ταῦτα ἔχομεν εὖ, ἢ κακῶς· οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργήν· εἰ δ' ὅλως μὴ ὀργιζόμεθα ἐφ' οἷς δεῖ, καὶ οὕτω κακῶς ἔχομεν πρὸς ὀργήν. τὸ ἄρα μέσως ἔχειν, τὸ μήτε λίαν ὑπεραλγεῖν, μήτε παντελῶς ἀναλγήτως ἔχειν. ὅταν οὖν οὕτως ἔχωμεν, εὖ διακείμεθα. C ὁμοίως δὲ πρὸς τὰ ἄλλα τὰ ὅμοια. τὸ γὰρ εὐόργητον, καὶ τὸ πρᾶον, ἐν μεσότητι ἐστὶν ὀργῆς καὶ ἀναλγησίας τῆς πρὸς ὀργήν. ὁμοίως ἐπ' ἀλαζονείας. τὸ μὲν γὰρ πλείω προσποιεῖσθαι τῶν ὑπαρχόντων ἔχειν, ἀλαζονείας· τὸ δὲ ἐλάττω, εἰρωνείας. ἡ ἄρα μεσότης ἡ τούτων, ἡ ἀλήθειά ἐστιν.

Κεφάλαιον η. D

Ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πάντων· τοῦτο γάρ ἐστι τῆς ἕξεως, τὸ εὖ ἢ κακῶς πρὸς ταῦτα ἔχειν· τὸ δὲ εὖ ἔχειν πρὸς ταῦτα, ἐστὶ τὸ μήτε πρὸς τὴν ὑπερβολὴν ἔχειν, μήτε πρὸς τὴν ἔνδειαν. πρὸς μεσότητα ἄρα τῶν τοιούτων, καθ' ἃ ἐπαινετοὶ λεγόμεθα, ἡ ἕξις· τοῦ δὲ κακῶς, πρὸς ὑπερβολὴν καὶ ἔνδειαν. ἐπεὶ τοίνυν ἐστὶν ἡ ἀρετὴ τῶν παθῶν τούτων μεσότης· E τὰ δὲ πάθη ἤτοι λῦπαι εἰσὶν ἢ ἡδοναί, ἢ οὐκ ἄνευ λύπης ἢ ἡδονῆς· ἡ ἄρα ἀρετή ἐστι περὶ λύπας καὶ ἡδονάς, καὶ ἐντεῦθεν ἐστὶ δῆλον. ἔστι δὲ καὶ ἄλλα πάθη (ὡς δόξειεν ἄν τινι) ἐφ' ὧν ἡ κακία οὐκ ἔστιν ἐν ὑπερβολῇ καὶ ἐλλείψει τινί· οἷον μοιχεία, καὶ ὁ μοιχός· οὐκ ἔστιν οὗτος ὁ μᾶλλον τὰς ἐλευθέρας διαφθείρων. ἀλλὰ καὶ τοῦτο, καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστιν, ὃ περιέχεται ἡδονῇ τῇ F κατ' ἀκολασίαν, ἢ καὶ ὃ ἐν ἐλλείψει, καὶ ὃ ἐν ὑπερβολῇ, τὸ ψεκτὸν ἔχει.

Κεφάλαιον θ.

Μετὰ τοίνυν τοῦτο ἀναγκαῖον ἐστὶν ἴσως μὲν θᾶναι τί τῇ μεσότητι ἀντίκειται, πότερον

CAPVT VII.

Præterea, qui velit quid sit virtus dicere, scire expedit quænam demum in anima procreentur. Sunt autem hæc huiusmodi, perturbationes, potestates, habitus. Et proinde non dubium, quin horum quid sit virtus. Perturbationes igitur sunt, ira, metus, odium, cupido, liuor, miseratio, & id genus alia, quæ comitari consueuerunt ægritudo, & voluptas. Potestates autem, per quas hæc pati posse dicimur, vt per quas possumus excandescere, dolere, misereſcere, & alia huiusmodi. At habitus sunt, per quos erga hæc habemus bene, vel malè, sicut ad excandescendum. Si nanque supra modum iracundè, circa iram peccamus. Sin in quibus expedit, prorsus ira non commouemur, ita quoque circa iram peccamus. Medium igitur est, vt neque supra modum commoueamur, neque prorsus simus à commotione alieni: tum si ita habeamus, rectè affecti simus. In similibus quoque aliis, idem intelligendum. Nam mediocriter esse iracundum & lenem, medium est inter iram & lentitudinem animi siue vacuitatem iræ. Simile est in arrogantia, & dissimulatione: plura nanque quàm adsint, sibi arrogare, arrogantiæ est: minus verò, dissimulationis. Inter hæc igitur medium est veritas.

CAPVT VIII.

Idem in cæteris omnibus est intelligendum. Id enim proprium ipsius est habitus, vt bene maléve erga hæc habeat. Bene autem in iis habere, fuerit neque excedere, neque perficere. Medium horum igitur habitus is obtinet, per quem laude digni habemur: vituperamur autem vel propter nimium vel propter parũ. Quandoquidem igitur harum perturbationum, virtus est medium: perturbationes autem sunt ægritudines, & voluptates, aut non citra ægritudinem vel voluptatem: virtus certè circa ægritudines, vel voluptates. id quod hinc certum. Sunt nimirum etiam affectus alij, (vt videri posset cuipiam) in quibus non in excessu, & defectu aliquo est vitium: velut adulterium, & adulter. Nec enim magis est talis, qui ingenuas constuprarit. Cæterùm & hoc, & si quid aliud huiusmodi est, quod à voluptate comprehenditur, quæ est in intemperantia posita, siue nimium sit, siue parum, sub vituperationem cadit.

CAPVT IX.

Deinceps igitur fuerit sanè dictu necessarium, quidnam demum medietam